www.tezaurliturgic.ro

+

# Μαρτύριον τῶν ἀναιρεθέντων πατέρων ἐν τῇ Ἱερᾷ Λαύρᾳ τοῦ Ἁγίου Σάββα τῇ 16 Μαΐου τῷ 614 μ.Χ.

**Ὑπό τοῦ Ὁσιωτάτου πατρός ἡμῶν Ἀντιόχου τοῦ Πανδέκτου, (αὐτόπτης μάρτυς γενόμενος τῆς Καταστροφῆς).**

Ὁ Ὅσιος Ἀντίοχος συνέταξε τό ἔργον τοῦτο κατ' αἴτησιν τοῦ συμπολίτου αὐτοῦ Εὐσταθίου ἡγουμένου τῆς Μονῆς Ἀτταλίνης (τῆς Μικρᾶς Ἀσίας).

Ἰδού πῶς ἐκτίθησιν ὁ Ὅσιος Ἀντίοχος τήν κατά τήν Λαύραν ἐπίθεσιν ἐν τῇ ἐπιστολῇ αὐτοῦ.

«*Ἐπιστολή Ἀντιόχου Μοναχοῦ τῆς Λαύρας τοῦ Ἀββᾶ Σάββα πρός Εὐστάθιον ἡγούμενον μονῆς Ἀτταλίνης, πόλεως Ἀγκύρας τῆς Γαλατίας περί τῶν ἐκεῖσε ἁγίων Πατέρων...*

...Καί περί μέν τῆς ἐναρέτου αὐτῶν πολιτείας οὐ τοῦ παρόντος καιροῦ, οὐδέ τῆς ἐμῆς γλώττης διηγήσασθαι. Τοῦτο δέ μόνον λέγω, ὅτι ὡς ἀληθῶς ἄνθρωποι ἦσαν θεῖοι (εἴγε δεῖ ἀνθρώπους αὐτούς καλεῖν καί μή ἀγγέλους), τῇ τε ἀσκήσει καί ἡσυχίᾳ καί τοῖς ὑπέρ εὐσεβείας πόνοις ἐκ νεότητος ἐγγεγηρακότες, γηραλέοι, ἱεροπρεπεῖς, πολιοί τήν τρίχα καί τήν σύνεσιν, ἀγαθοί, ταπεινόφρονες, κόσμιοι, σώφρονες, ἀληθινοί, ἄμεμπτοι, δίκαιοι, θεοσεβεῖς ἀπεχόμενοι ἀπό παντός πονηροῦ πράγματος, ἀνελλιπεῖς πάντων τῶν ἀγαθῶν, πεπληρωμένοι δέ τῆς θείας ἀγάπης. Τινές αὐτῶν ὑπερβεβηκότες ἀπό πεντήκοντα καί ἑξήκοντα ἐτῶν, μή ἐξερχόμενοι παντοίως τῆς Λαύρας· τινές δέ μήτε ἐν τῇ ἐκκλησίᾳ προϊόντες μηδέ ἑωρακότες

www.tezaurliturgic.ro



τήν πόλιν, ἀφ᾽ οὗ ἐμόνασαν, ἀρεταῖς παντοίαις κεκοσμημένοι, ἐπίγειοι ἄγγελοι καί οὐράνιοι ἄνθρωποι. Ὅθεν καί τοιοῦτον τέλος ἀπηνέγκαντο καί τό βραβεῖον τῆς νίκης ἐκομίσαντο.

«Ἐπελθόντων γάρ τῶν Ἰσμαηλιτῶν τῇ ἡμετέρᾳ Λαύρᾳ πρό μιᾶς ἑβδομάδος τοῦ παραληφθῆναι τήν ἁγίαν πόλιν καί πάντα τά τῆς ἐκκλησίας ἱερά σκεύη διαρπασάντων, τό μέν πλῆθος τῶν Πατέρων παραχρῆμα ὑπανεχώρησεν· ἀπέμειναν δέ οἱ καρτερικοί δοῦλοι τοῦ Χριστοῦ ἐν τῇ Λαύρᾳ, μή βουλόμενοι καταλιπεῖν τόν τόπον. Οἱ δέ βάρβαροι, συλλαβόμενοι αὐτούς καί ἀνηλεῶς ἐπί πολλάς ἡμέρας βασανίζοντες, οἰόμενοι χρήματα εὑρίσκειν, παρ᾽ οἷς μηδέν τοῦ αἰῶνος τούτου ὑπῆρχεν, τέλος τοῦ σκοποῦ ἐκπεσόντες, ἐμμανεῖς γενόμενοι πάντας μεληδόν κατέτεμνον. Οἱ δέ μακάριοι γεγηθότες, φαιδρῷ τῷ προσώπῳ, εὐχαρίστως τάς ψυχάς τῷ Κυρίῳ ἀπέδωκαν, ὡς ἐκ πολλοῦ τήν ἐπιθυμίαν ἔχοντες ἀναλῦσαι καί σύν Χριστῷ εἶναι. Ριφέντων δέ τῶν σωμάτων αὐτῶν ἐπί πολλάς ἡμέρας ἀτάφων, ἐπικατελάβομεν ἡμεῖς ἀπό Ἀραβίας· καί ὁ μέν ἀββᾶς Νικομήδης, θεασάμενος τά ἐλεεινά θύματα τῶν Πατέρων, λυποθυμήσας σχεδόν εἰπεῖν ἤρθη νεκρός.

«Μόδεστος δέ ὁ ὁσιώτατος, προσελθών, πάντα τά σκηνώματα τῶν ἁγίων συστείλας, ἔλουσε πολλά τε ἐπιδακρύσας καί περιπτυξάμενος τά ἅγια καί καρτερικά αὐτῶν λείψανα, κατέθετο ἐν ταῖς θήκαις τῶν πατέρων. Ἐκτελέσας δέ ἐπ᾽ αὐτοῖς τόν συνήθη κανόνα, ἐπεφθέγξατο αὐτοῖς τό τοῦ Ἠσαΐου λόγιον, τό φάσκον.

«Ἄνδρες δίκαιοι αἴρονται καί οὐδείς κατανοεῖ· ἀπό προσώπου ἀδικίας ἦρται ὁ δίκαιος· ἔσται ἐν εἰρήνῃ ἡ ταφή αὐτοῦ». Καί «Ψυχαί δικαίων ἐν χειρί Κυρίου καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, οἱ δέ εἰσιν ἐν εἰρήνῃ, καί ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης· καί ὀλίγα παιδευθέντες μεγάλως εὐεργετηθήσονται, ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι».

«Καί ταῦτα περί τῶν ἁγίων Πατέρων, ἡμῶν εἰρηκώς πα-

www.tezaurliturgic.ro



ρεκάλει πάντας ἡμᾶς μή ἐγκαταλεῖψαι τόν τόπον ἡμῶν, ἀλλ' ὑπομένειν γενναίως ἐν τοῖς πειρασμοῖς, μνημονεύοντας τοῦ Κυρίου, λέγοντος, ὅτι «Στενή ἡ πύλη καί τεθλιμμένη ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ζωήν» καί τοῦ Ἀποστόλου, ὅτι «Διά πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν». Εἴξαντες οὖν τῇ παραινέσει αὐτοῦ ἐμείναμεν ἐν τῇ Λαύρα ὡς ἐπί δύο μῆνας. Καί πάλιν ἀκοῆς βαρβαρικῆς γενομένης, φοβηθέντες κατεφύγομεν εἰς μοναστήριον πλησίον τῆς ἁγίας πόλεως, ὡς ἀπό σταδίων εἴκοσι, λεγόμενον τοῦ ἀββᾶ Ἀναστασίου, μηδένα τό τηνικαῦτα ἔχον. Καί ποιήσαντες ὡς δύο χρόνους ἐν αὐτῷ πάλιν παρεκαλούμεθα ὑπό τοῦ εἰρημένου ὁσιωτάτου Μοδέστου ἐπανελθεῖν καί οἰκῆσαι εἰς τόν τόπον ἡμῶν. Πεισθέντες οὖν τῇ ἀγαθῇ αὐτοῦ συμβουλίᾳ οἱ μέν παραχρῆμα ἐπανήλθομεν καί οἰκήσαμεν εἰς τήν Λαύραν, τινές δέ καί μικρόν βραδύτερον φόβῳ τῶν γειτνιώντων ἡμῖν Σαρακηνῶν, τινές δέ καί ἐν αὐτῷ τῷ μοναστηρίῳ ἀπεμείναμεν ἅμα Ἰουστίνῳ τῷ ὁσιωτάτῳ αὐτῶν ἡγουμένῳ ἀποταξαμένῳ ἐν τῇ Λαύρα καί πλείστους χρόνους ἐν αὐτῇ πεποιηκότι καί ἐν πολλαῖς ἀρεταῖς διαπρέψαντι, ὡς καί τῇ τοῦ πρεσβυτέρου ἀξίᾳ αὐτόν τιμηθῆναι. Ὅστις θεοσεβέστατος Ἰουστῖνος πολλήν συνοδείαν ἐν τῷ αὐτῷ μοναστηρίῳ τῇ τοῦ Χριστοῦ χάριτι περιεποιήσατο, κρατῶν τόν κανόνα ἀπαραλλάκτως τῆς Λαύρας καί τήν λοιπήν κατάστασιν, καί οὐκ ἄν εὕροι τις ἐν ὅλῃ Παλαιστίνῃ ἤ ἐν ἄλλῳ κοινοβίῳ τοιαύτην πνευματικήν κατάστασιν. Ἀνθεῖ δέ καί αὐξάνει καθ' ἑκάστην καί προβαίνων κατά τόν Ἰσαάκ μέγας γίνεται, ὡς ἐκ τούτου χαίρειν ἡμᾶς στοχαζομένους καλῶς, ὅτι ἐν πάσῃ χώρα διαλάμπει, φωστήρων δίκην, τό σπέρμα τοῦ Ἁγίου πατρός ἡμῶν Σάββα. «Ἡμεῖς δέ οἱ ταπεινοί, τῇ τοῦ Θεοῦ χάριτι καί σπουδῇ τοῦ προειρημένου ὁσιωτάτου Μοδέστου ἐν ἡσυχίᾳ καθήμεθα ὑπέρ τά πρώην ἔτη, εὐχαριστοῦντες καί δοξάζοντες τόν Θεόν, τόν θανατοῦντα καί ζωοποιοῦντα καί ποιοῦντα θαυμάσια μεγάλα μόνον. Εὐσπλαγχνίσθη γάρ εἰς ἡμᾶς ἡ αὐτοῦ ἀγαθέτης καί εἰς προκοπήν μεγάλην ἤνεγκε τόν τόπον ἡμῶν, ὅσον πρός τούς καιρούς, διά τούς προδουλεύσαντας αὐτῷ γνησίως ἐν αὐτῷ ἁγίους δούλους αὐτοῦ. Ἐχαρίσατο δέ ἡμῖν πατέρα καί ποιμένα

www.tezaurliturgic.ro



ἡ αὐτοῦ ἀγαθότης ἄξιον τῆς αὐτοῦ προνοίας, Θωμᾶν τόν ὁσιώτατον, γνωστικόν ὄντα καί παντοίαις ἀρεταῖς κατακεκοσμημένον, τόν ἐκ νεαρᾶς ἡλικίας ἡσύχιον ἀσκήσαντα βίον, τόν πρᾶον καί φιλάδελφον καί συμπαθέστατον, τόν ταπεινόν τῇ καρδίᾳ, τόν περί τήν εὐχήν καί κανόνα θερμότατον. Διό καί ὁ Θεός ἐπί τῆς ἡγητηρίας αὐτοῦ εἰς πλατυσμόν ἤνεγκε τούς αὐτοῦ φοιτητάς. Ὁ δέ ἀριθμός τῶν ἀναιρεθέντων πατέρων ἐστιν ὀνομάτων τεσσαράκοντα τεσσάρων. Ἐπιτελεῖται δέ ἡ μνήμη αὐτῶν μηνί Μαΐου 16η.

Χάριτι δέ Χριστοῦ καί σπουδῇ τοῦ προλεχθέντος ὁσιωτάτου πατρός ἡμῶν Μοδέστου οἰκοῦνται καί τά λοιπά τῆς ἐρήμου μοναστήρια. Ἰδού οὖν, τίμιε πάτερ Εὐστάθιε, ἐν συντόμῳ ἅ περί τῶν ἁγίων ἡμῶν καί τῆς Λαύρας ἐσήμανα τῇ ὑμετέρᾳ Θεοφιλίᾳ καί ἄλλα δέ εὐαγγέλια χαροποιοῦντα καί ὑμετέραν ψυχήν καί παντός Χριστιανοῦ ἀκούοντος αὐτά εὐαγγελίζομαι ἡμῖν. Ὁ γάρ προρρηθείς ὁσιώτατος Μόδεστος οὐ μόνον προνοεῖται τῶν τῆς ἐρήμου μοναστηρίων, ἀλλά καί τῆς πόλεως καί πάσης τῆς περιοικίδος, τοῦ Θεοῦ ἐνεργοῦντος αὐτῷ ἐν παντί. Οὗτος γάρ, ὡς ἀληθῶς ὁ νέος ἡμῶν Βεσελεήλ ἤ Ζοροβάβελ πλησθείς Πνεύματος Ἁγίου, ἀνήγειρε καί τούς ἐμπρησθέντας σεβασμίους ναούς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τό τε ἅγιον κρανίον καί τήν ἁγίαν αὐτοῦ Ἀνάστασιν καί τόν σεπτόν οἶκον τοῦ Τιμίου Σταυροῦ καί τήν μητέρα τῶν ἐκκλησιῶν καί τήν ἁγίαν αὐτοῦ Ἀνάληψιν καί τούς λοιπούς σεβασμίους οἴκους. Ὡς ἐκ τούτου ἀγαθάς ἐλπίδας ἔχειν ἡμᾶς καί περί τῶν μελλόντων, καί μάλιστα τούς ἀπό τῶν ἔξω χωρῶν ἐρχομένους εἰς προσκύνησιν τῶν Ἁγίων Τόπων καί πάντας δοξάζειν τόν Θεόν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν».